Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ 18 1–9: Mc 9,33–47.
Ἰησοῦ λέγοντες· τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασι- L 9,46–48.
λείᾳ τῶν οὐρανῶν; καὶ προσκαλεσάμενος παιδίον 2
ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν [1] καὶ εἶπεν· ἀμὴν 3 19,14.
λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ
παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν
οὐρανῶν. ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ 4
παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασι-
λείᾳ τῶν οὐρανῶν. καὶ ὃς ἐὰν δέξηται ἓν παιδίον 5 10,40. J 13,20.
τοιοῦτο ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· ὃς δ᾽ ἂν 6 L 17,1.2.
σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόν-
των εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος
ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ
ἐν τῷ πελάγει τῆς θαλάσσης. Οὐαὶ τῷ κόσμῳ 7
ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάν-
δαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ δι᾽ οὗ τὸ σκάνδαλον
ἔρχεται. Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου 8 5,29.30.
σκανδαλίζει σε, ἔκκοψον αὐτὸν καὶ βάλε ἀπὸ σοῦ·
καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν κυλλὸν ἢ
χωλόν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι
εἰς τὸ πῦρ τὸ αἰώνιον. καὶ εἰ ὁ ὀφθαλμός σου 9
σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ·
καλόν σοί ἐστιν μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν,
ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν
τοῦ πυρός. Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν 10 H 1,14.
μικρῶν τούτων· λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι
αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσ-
ωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Τί ὑμῖν 12 12–14: L 15,4–7.
δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα
καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφήσει τὰ ἐνενήκοντα
ἐννέα ἐπὶ τὰ ὄρη καὶ πορευθεὶς ζητεῖ τὸ πλανώμενον;

---

*1 εκεινη* : **h**+ *δε* *7 γαρ* : **T**+ *εστιν* *10 εν ουρανοις 1°* : **h** [*εν τω ουρανω*] *11* **h**[r] *ηλθεν γαρ ο υιος του ανθρωπου σωσαι το απολωλος.* *12 αφησει* : **T** *αφεις et — και*

---

*1 ωρα : ημερα* *8 αυτον : αυτα* | *βλ. εις την γεενναν του πυρος* *10 τουτων : + των πιστευοντων εις εμε*

13 *καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν ὅτι*
*χαίρει ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα*
14 *τοῖς μὴ πεπλανημένοις. οὕτως οὐκ ἔστιν θέλημα*
*ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ἵνα*
• Lv 19,17. 15 *ἀπόληται ἓν τῶν μικρῶν τούτων. Ἐὰν δὲ*
L 17,3. G 6,1. *ἁμαρτήσῃ ὁ ἀδελφός σου, ὕπαγε ἔλεγξον αὐτὸν*
*μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ,*
Dt 19,15. 16 *ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ,*
*παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα* ***ἐπὶ στόματος***
1 K 5,13. 17 ***δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα·*** *ἐὰν δὲ*
*παρακούσῃ αὐτῶν, εἰπὸν τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ*
*τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ*
16,19. 18 *ἐθνικὸς καὶ ὁ τελώνης. Ἀμὴν λέγω ὑμῖν, ὅσα*
J 20,23. *ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν οὐρανῷ,*
*καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς ἔσται λελυμένα*
Mc 11,24. 19 *ἐν οὐρανῷ. Πάλιν [ἀμὴν] λέγω ὑμῖν ὅτι ἐὰν δύο*
*συμφωνήσωσιν ἐξ ὑμῶν ἐπὶ τῆς γῆς περὶ παντὸς*
*πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς*
28,20. 20 *παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. οὗ γάρ*
*εἰσιν δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα,*
*ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.*
21 *Τότε προσελθὼν ὁ Πέτρος εἶπεν αὐτῷ· κύριε,*
*ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ*
L 17,4. 22 *ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; λέγει αὐτῷ ὁ Ἰησοῦς·*
*οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλὰ ἕως ἑβδομηκον-*
23 *τάκις ἑπτά. Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν*
*οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησεν συνᾶραι*
24 *λόγον μετὰ τῶν δούλων αὐτοῦ. ἀρξαμένου δὲ*
*αὐτοῦ συναίρειν, προσήχθη εἷς αὐτῷ ὀφειλέτης*

---

*14 υμων* : 𝔎 *μου* *16 σου* : T *σεαυτου* | h *ετι ενα η δυο μετα σου* *17* R *ειπε* *19 [αμην]* : R—T | T *συμφωνησουσιν* *20* h[r] *ουκ εισιν γαρ δυο η τρεις συνηγμενοι εις το εμον ονομα, παρ οις ουκ ειμι εν μεσω αυτων.* *21 αυτω* 1° : [H] *24* T *προσηνεχθη* | R *αυτω εις*

---

*15 αμαρτ.* : + *εις σε* *16* — *μαρτυρων*

*μυρίων ταλάντων. μὴ ἔχοντος δὲ αὐτοῦ ἀπο-* 25
*δοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύριος πραθῆναι καὶ*
*τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ πάντα ὅσα ἔχει,*
*καὶ ἀποδοθῆναι. πεσὼν οὖν ὁ δοῦλος προσεκύνει* 26
*αὐτῷ λέγων· μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα*
*ἀποδώσω σοι. σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ* 27
*δούλου ἐκείνου ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον*
*ἀφῆκεν αὐτῷ. ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος εὗρεν* 28
*ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν*
*δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγεν λέγων·*
*ἀπόδος εἴ τι ὀφείλεις. πεσὼν οὖν ὁ σύνδουλος* 29
*αὐτοῦ παρεκάλει αὐτὸν λέγων· μακροθύμησον ἐπ'*
*ἐμοί, καὶ ἀποδώσω σοι. ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ* 30
*ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακὴν ἕως ἀποδῷ*
*τὸ ὀφειλόμενον. ἰδόντες οὖν οἱ σύνδουλοι αὐτοῦ* 31
*τὰ γενόμενα ἐλυπήθησαν σφόδρα, καὶ ἐλθόντες*
*διεσάφησαν τῷ κυρίῳ ἑαυτῶν πάντα τὰ γενόμενα.*
*τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ λέγει* 32
*αὐτῷ· δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην*
*ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ* 33
*σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς κἀγὼ σὲ ἠλέησα;*
*καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν* 34 5,26.
*τοῖς βασανισταῖς ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλό-*
*μενον. Οὕτως καὶ ὁ πατήρ μου ὁ οὐράνιος* 35 6,14.15.
*ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ*
*αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν.*

1–9: Mc 10,1–12.
*Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους* 19 7,28; 11,1; 13,53; 26,1.
*τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας καὶ ἦλθεν*
*εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου.*

---

*25* *εχει* : T *ειχεν* *26* *δουλ.* : T + *εκεινος* *27* H [*εκεινου*] | H *δανιον* *31* *γενομ.* 1° : T *γινομενα* *34* H [*ου*] | *οφειλ.* : T + *αυτω*

---

*24* *μυριων* : *πολλων* *26* *λεγ.* : + *κυριε* *28* *αποδ.* : + *μοι* *29* *αυτου* : + *εις τους ποδας αυτου* | *και* : + *παντα* *34* — *παν* *35* *επουρανιος* | *υμων* : + *τα παραπτωματα αυτων* 19,*1* *ετελ.* : *ελαλησεν*

2 *καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθερά-*
*πευσεν αὐτοὺς ἐκεῖ.*
5,31.32. 3 *Καὶ προσῆλθον αὐτῷ Φαρισαῖοι πειράζοντες*
*αὐτὸν καὶ λέγοντες· εἰ ἔξεστιν ἀπολῦσαι τὴν*
Gn 1,27. 4 *γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; ὁ δὲ ἀπο-*
*κριθεὶς εἶπεν· οὐκ ἀνέγνωτε ὅτι ὁ ποιήσας ἀπ'*
Gn 2,24. 5 *ἀρχῆς* ***ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς*** *καὶ εἶπεν·*
E 5,31. ***ἕνεκα τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα***
***καὶ τὴν μητέρα καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ,***
1 K 7,10.11. 6 ***καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν;*** *ὥστε οὐκέτι*
*εἰσὶν δύο ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ θεὸς συνέζευξεν,*
Dt 24,1. 7 *ἄνθρωπος μὴ χωριζέτω. λέγουσιν αὐτῷ· τί οὖν*
*Μωϋσῆς ἐνετείλατο* ***δοῦναι βιβλίον ἀποστασίου καὶ***
8 ***ἀπολῦσαι;*** *λέγει αὐτοῖς· ὅτι Μωϋσῆς πρὸς τὴν*
*σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς*
*γυναῖκας ὑμῶν· ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως.*
L 16,18. 9 *λέγω δὲ ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα*
*αὐτοῦ μὴ ἐπὶ πορνείᾳ καὶ γαμήσῃ ἄλλην, μοιχᾶται.*
10 *λέγουσιν αὐτῷ οἱ μαθηταί· εἰ οὕτως ἐστὶν ἡ αἰτία*
*τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει*
1 K 7,7.17. 11 *γαμῆσαι. ὁ δὲ εἶπεν αὐτοῖς· οὐ πάντες χωροῦσιν*
12 *τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται. εἰσὶν γὰρ*
*εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν*
*οὕτως, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν*
*ὑπὸ τῶν ἀνθρώπων, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες*
*εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν.*
*ὁ δυνάμενος χωρεῖν χωρείτω.*
13–15: Mc 10,13–16. L 18,15–17. 13 *Τότε προσηνέχθησαν αὐτῷ παιδία, ἵνα τὰς*
*χεῖρας ἐπιθῇ αὐτοῖς καὶ προσεύξηται· οἱ δὲ μαθη-*

---

*3* **H** *προσηλθαν* | *αυτω* : **T**+ *οι* *4* **H** *κτισας* | **T** *αυτούς;* *5* **T** *μιαν.* *7* *απολυσαι* : **h**+ *αυτην* *8* **H** *αυτοις οτι Μ.* *9* **h**— *οτι* | *μη επι . . . μοιχαται* : **h** *παρεκτος λογου πορνειας, ποιει αυτην μοιχευθηναι, και ο απολελυμενην γαμησας μοιχαται* *11* **H**— *τουτον*

---

*3 εξεστιν : + ανθρωπω* *6 συνεζ. : + εις εν* *8 ουκ εγενετο* *10 ανθρ. : ανδρος*

ταὶ ἐπετίμησαν αὐτοῖς. ὁ δὲ Ἰησοῦς εἶπεν· ἄφετε 14 18,2.3.
τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με·
τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.
καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῖς ἐπορεύθη ἐκεῖθεν. 15
Καὶ ἰδοὺ εἷς προσελθὼν αὐτῷ εἶπεν· διδάσ- 16 16–30: Mc 10,17–31. L 18,18–30.
καλε, τί ἀγαθὸν ποιήσω ἵνα σχῶ ζωὴν αἰώνιον;
ὁ δὲ εἶπεν αὐτῷ· τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; 17 L 10,26–28.
εἷς ἐστιν ὁ ἀγαθός· εἰ δὲ θέλεις εἰς τὴν ζωὴν
εἰσελθεῖν, τήρησον τὰς ἐντολάς. λέγει αὐτῷ· ποίας; 18 Ex 20,12–16. Dt 5,17–20.
ὁ δὲ Ἰησοῦς εἶπεν· **τὸ οὐ φονεύσεις, οὐ μοιχεύσεις,**
**οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, ˡτίμα τὸν πατέρα** 19 Ex 20,12. Lv 19,18. Dt 5,16.
**καὶ τὴν μητέρα, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς**
**σεαυτόν.** λέγει αὐτῷ ὁ νεανίσκος· ταῦτα πάντα 20
ἐφύλαξα· τί ἔτι ὑστερῶ; ἔφη αὐτῷ ὁ Ἰησοῦς· εἰ 21 6,20. L 12,33.
θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρ-
χοντα καὶ δὸς [τοῖς] πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν
οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι. ἀκούσας δὲ ὁ 22 Ps 62,11.
νεανίσκος τὸν λόγον ἀπῆλθεν λυπούμενος· ἦν γὰρ
ἔχων κτήματα πολλά. Ὁ δὲ Ἰησοῦς εἶπεν τοῖς 23
μαθηταῖς αὐτοῦ· ἀμὴν λέγω ὑμῖν ὅτι πλούσιος
δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν
οὐρανῶν. πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστιν 24
κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν ἢ
πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ. ἀκούσαντες 25
δὲ οἱ μαθηταὶ ἐξεπλήσσοντο σφόδρα λέγοντες· τίς
ἄρα δύναται σωθῆναι; ἐμβλέψας δὲ ὁ Ἰησοῦς 26 Gn 18,14. Job 42,2. Zch 8,6.

---

*14 ειπεν* : **hT**+ *αυτοις* | **T** *προς εμε* *16 διδασκαλε* : **h**[r]+ *αγαθε* *17* **h**[r] *τι με λεγεις αγαθον· ουδεις αγαθος ει μη εις vel αγαθος* : + *ο θεος vl ο πατηρ [μου εν τοις ουρανοις]* | 𝔎 *τηρει* *18 λεγει α. ποι.* : **hT** *ποιας; φησιν* | *ειπεν* : 𝔎 *εφη* *19* **h**[r]— *και αγαπ. . . . σεαυτον* *20* **hT** *παντα ταυτα* *21 εφη* : **h** *λεγει* | *[τοις]* : **R**—**T** | **T** *ουρανω* *22* **T**— *τον λογον* : **H**+ *[τουτον]* *24 υμιν* : **hT**+ *οτι* | 𝔎 *τρηματος* | **h** *διελθειν* | *πλουσιον* : **h**+ *εισελθειν* | *του θεου* : **T** *των ουρανων*

---

*20 εφυλαξαμην et* + *εκ νεοτητος (μου)* *22 κτημ.* : *χρηματα* *25 εξεπλησσ.* : + *και εφοβηθησαν*

*εἶπεν αὐτοῖς· παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν*
27 *ἐστιν,* ***παρὰ δὲ θεῷ πάντα δυνατά.*** *Τότε ἀπο-*
*κριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφή-*
*καμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται*
L 22,30. 28 *ἡμῖν; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν*
*ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιν-*
*γενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ*
*θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ*
*δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ*
H 10,34. 29 *Ἰσραήλ. καὶ πᾶς ὅστις ἀφῆκεν οἰκίας ἢ ἀδελ-*
*φοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ τέκνα ἢ*
*ἀγροὺς ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος, πολλαπλασίονα*
20,16. L 13,30. 30 *λήμψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει. Πολλοὶ δὲ*
20 *ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι. Ὁμοία*
21,33. *γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ*
*οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασ-*
2 *θαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. συμφωνήσας*
*δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν*
3 *ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. καὶ*
*ἐξελθὼν περὶ τρίτην ὥραν εἶδεν ἄλλους ἑστῶτας*
4 *ἐν τῇ ἀγορᾷ ἀργούς, ¹καὶ ἐκείνοις εἶπεν· ὑπάγετε*
*καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον*
5 *δώσω ὑμῖν. οἱ δὲ ἀπῆλθον. πάλιν [δὲ] ἐξελθὼν*
*περὶ ἕκτην καὶ ἐνάτην ὥραν ἐποίησεν ὡσαύτως.*
6 *περὶ δὲ τὴν ἑνδεκάτην ἐξελθὼν εὗρεν ἄλλους*
*ἑστῶτας, καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην*
7 *τὴν ἡμέραν ἀργοί; λέγουσιν αὐτῷ· ὅτι οὐδεὶς ἡμᾶς*
*ἐμισθώσατο. λέγει αὐτοῖς· ὑπάγετε καὶ ὑμεῖς εἰς*
8 *τὸν ἀμπελῶνα. ὀψίας δὲ γενομένης λέγει ὁ κύριος*
*τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς*

---

*26* T *δυνατα παντα* *28* H *καθησεσθε* | *υμεις* 2° : hT *αυτοι* | *29 οικιας η* : hT *η οικιας* post *αγρους* | T *ενεκα* 20,*5* [*δε*] : T

---

*28 αυτοις* : *αυτω* *29 εκατονταπλασιονα* 20,*6 εξηλθεν και* | *εστωτ.* : + *αργους* *7 αμπελωνα* : + *(μου) και ο εαν η δικαιον λημψεσθε*

ἐργάτας καὶ ἀπόδος τὸν μισθόν, ἀρξάμενος ἀπὸ
τῶν ἐσχάτων ἕως τῶν πρώτων. καὶ ἐλθόντες οἱ 9
περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δηνάριον.
καὶ ἐλθόντες οἱ πρῶτοι ἐνόμισαν ὅτι πλεῖον 10
λήμψονται· καὶ ἔλαβον τὸ ἀνὰ δηνάριον καὶ αὐτοί.
λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου 11
ˡλέγοντες· οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, 12
καὶ ἴσους αὐτοὺς ἡμῖν ἐποίησας τοῖς βαστάσασι
τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. ὁ δὲ 13
ἀποκριθεὶς ἑνὶ αὐτῶν εἶπεν· ἑταῖρε, οὐκ ἀδικῶ
σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; ˡἆρον τὸ σὸν 14
καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς
καὶ σοί· οὐκ ἔξεστίν μοι ὃ θέλω ποιῆσαι ἐν τοῖς 15 R 9,16.21.
ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν ὅτι ἐγὼ
ἀγαθός εἰμι; Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι καὶ 16 19,30. 22,14.
οἱ πρῶτοι ἔσχατοι.

Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα παρέ- 17 17–19: Mc 10,32–34.
λαβεν τοὺς δώδεκα [μαθητὰς] κατ' ἰδίαν, καὶ ἐν L 18,31–33.
τῇ ὁδῷ εἶπεν αὐτοῖς· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱερο- 18 16,21; 17,22.23.
σόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται
τοῖς ἀρχιερεῦσιν καὶ γραμματεῦσιν, καὶ κατα-
κρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν 19
τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ
σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται.
Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβε- 20 20–28: Mc 10,35–45.
δαίου μετὰ τῶν υἱῶν αὐτῆς προσκυνοῦσα καὶ 10,2.
αἰτοῦσά τι ἀπ' αὐτοῦ. ὁ δὲ εἶπεν αὐτῇ· τί θέλεις; 21 19,28.

---

*8 αποδος* : h+ *αυτοις* *9 και ελθ.* : H *ελθοντες δε* *10 και ελθ.* : T *ελθοντες δε* | T *πλειονα* | H [*το*] *12* h *ημιν αυτους* *13* h *ειπεν ενι αυτων* *14 δε* : h [*εγω*] *15 ουκ* : T pr *η* *16 εσχατοι* 2° : h[r]+ ⊣ *πολλοι γαρ εισιν κλητοι ολιγοι δε εκλεκτοι* ⊢ *17* ℌ *μελλων δε αναβαινειν Ιησους* | T— [*μαθητας*] *18 θανατω* : [H]; T *εις θανατον* *19 εγερθ.* : h *αναστησεται* *20 απ* : hT *παρ*

---

*13 συνεφωνησα σοι* *15 ἠ* : *ει*

λέγει αὐτῷ· εἰπὲ ἵνα καϑίσωσιν οὗτοι οἱ δύο υἱοί
μου εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων σου ἐν τῇ
20,39. J 18,11. L 12,50. 22 βασιλείᾳ σου. ἀποκριϑεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· οὐκ
οἴδατε τί αἰτεῖσϑε. δύνασϑε πιεῖν τὸ ποτήριον
ὃ ἐγὼ μέλλω πίνειν; λέγουσιν αὐτῷ· δυνάμεϑα.
23 λέγει αὐτοῖς· τὸ μὲν ποτήριόν μου πίεσϑε, τὸ
δὲ καϑίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ
ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ
L 22,24-26. 24 πατρός μου. καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν
25 περὶ τῶν δύο ἀδελφῶν. ὁ δὲ Ἰησοῦς προσκαλε-
σάμενος αὐτοὺς εἶπεν· οἴδατε ὅτι οἱ ἄρχοντες τῶν
ἐϑνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι κατ-
23,11. 26 εξουσιάζουσιν αὐτῶν. οὐχ οὕτως ἔσται ἐν ὑμῖν·
ἀλλ' ὃς ἐὰν ϑέλῃ ἐν ὑμῖν μέγας γενέσϑαι, ἔσται
Mc 9,35. 27 ὑμῶν διάκονος, καὶ ὃς ἂν ϑέλῃ ἐν ὑμῖν εἶναι
L 22,27. Ph 2,7. 1 T 2,6. 28 πρῶτος, ἔσται ὑμῶν δοῦλος· ὥσπερ ὁ υἱὸς τοῦ
ἀνϑρώπου οὐκ ἦλϑεν διακονηϑῆναι, ἀλλὰ διακο-
νῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ
πολλῶν.
29—34: Mc 10,46-52. 29 Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἱερειχὼ ἠκο-
L 18,35-43. 15,22. 30 λούϑησεν αὐτῷ ὄχλος πολύς. καὶ ἰδοὺ δύο τυφλοὶ
καϑήμενοι παρὰ τὴν ὁδόν, ἀκούσαντες ὅτι Ἰησοῦς
παράγει, ἔκραξαν λέγοντες· κύριε, ἐλέησον ἡμᾶς,
31 υἱὸς Δαυείδ. ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς ἵνα

---

*21 λεγει αυτω* : **h** *η δε ειπεν* *23 και* : **h** *η* | *εμον* : **hT** + *τουτο* *24* **T** *ακουσαντες δε οι* | *26 εσται* 1° : **H** *εστιν* | **H** *αν* | **h** *μεγας εν υμιν* *27 εν υμιν ειν.* : **h** *ειναι υμων* *28* **fin h**ʳ + *υμεις δε ζητειτε εκ μικρου αυξησαι και εκ μειζονος ελαττον ειναι. εισερχομενοι δε και παρακληϑεντες δειπνησαι μη ανακλινεσϑε εις τους εξεχοντας τοπους, μη ποτε ενδοξοτερος σου επελϑη και προσελϑων ο δειπνοκλητωρ ειπη σοι Ετι κατω χωρει, και καταισχυνϑηση. εαν δε αναπεσης εις τον ηττονα τοπον και επελϑη σου ηττων, ερει σοι ο δειπνοκλητωρ Συναγε ετι ανω, και εσται σοι τουτο χρησιμον.* *30* **T** — *κυριε* | **hT** *υιε, it 31*

---

*22 πινειν* : + *η το βαπτισμα ο εγω βαπτιζομαι βαπτισϑηναι, it* *23* + *και το β. ο ε. β. βαπτισϑησεσϑε* *24 ηρξαντο αγανακτειν* *26 εσται* 2° : *εστω, it 27*

*σιωπήσωσιν· οἱ δὲ μεῖζον ἔκραξαν λέγοντες· κύριε,*
*ἐλέησον ἡμᾶς, υἱὸς Δαυείδ. καὶ στὰς ὁ Ἰησοῦς* 32
*ἐφώνησεν αὐτοὺς καὶ εἶπεν· τί θέλετε ποιήσω*
*ὑμῖν; λέγουσιν αὐτῷ· κύριε, ἵνα ἀνοιγῶσιν οἱ ὀφ-* 33
*θαλμοὶ ἡμῶν. σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς ἥψατο* 34
*τῶν ὀμμάτων αὐτῶν, καὶ εὐθέως ἀνέβλεψαν καὶ*
*ἠκολούθησαν αὐτῷ.*

*Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα καὶ ἦλθον* 21 1–11: Mc 11,1–10. L 19,29–38. J 12,12–19.
*εἰς Βηθφαγὴ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, τότε Ἰησοῦς*
*ἀπέστειλεν δύο μαθητὰς ˡλέγων αὐτοῖς· πορεύεσθε* 2
*εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθὺς*
*εὑρήσετε ὄνον δεδεμένην καὶ πῶλον μετ᾽ αὐτῆς·*
*λύσαντες ἀγάγετέ μοι. καὶ ἐάν τις ὑμῖν εἴπῃ τι,* 3 26,18.
*ἐρεῖτε ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει· εὐθὺς δὲ*
*ἀποστελεῖ αὐτούς. Τοῦτο δὲ γέγονεν ἵνα πληρωθῇ* 4
*τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος·*

**εἴπατε τῇ θυγατρὶ Σιών·** 5 Zch 9,9. Is 62,11.
**ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι**
**πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον**
**καὶ ἐπὶ πῶλον υἱὸν ὑποζυγίου.**

*πορευθέντες δὲ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς* 6
*συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς ἤγαγον τὴν ὄνον καὶ* 7
*τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπ᾽ αὐτῶν τὰ ἱμάτια,*
*καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν. ὁ δὲ πλεῖστος ὄχλος* 8 2 Rg 9,13.
*ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ*
*ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρών-*

---

*32* H [o] *33* fin h[r] + Quibus dixit Jesus Creditis posse me hoc facere? qui responderunt ei Ita, Domine 21,*1* R *Βηθφαγῆ* *2* R *ευθεως* | h *αγετε* *6* T *προσεταξεν* *8 εστρωννυον* : T *εστρωσαν*

---

*34 οφθαλμων* | *ανεβλ.* : + *αυτων οι οφθαλμοι* 21,*1 ηγγισεν* | *ηλθεν* | *εις* 3° : *προς* *3 τι* : *τι ποιειτε* | *αποστελλει* *4 δε* : + *ολον* *5* — *υιον* | *υποζυγιον* *7 εκαθητο vel ε(πε)καθισαν* | *αυτων* 2° : *αυτου*

Ps 118,25.26. 9 νυον ἐν τῇ ὁδῷ. οἱ δὲ ὄχλοι οἱ προάγοντες αὐτὸν
καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες·
**ὡσαννὰ τῷ υἱῷ Δαυείδ·**
**εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου·**
**ὡσαννὰ ἐν τοῖς ὑψίστοις.**
10 καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη
46. 11 πᾶσα ἡ πόλις λέγουσα· τίς ἐστιν οὗτος; οἱ δὲ
ὄχλοι ἔλεγον· οὗτός ἐστιν ὁ προφήτης Ἰησοῦς ὁ
ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας.

12—22: Mc 11,11—24. L 19,45—48. J 2,14—16. 12 Καὶ εἰσῆλθεν Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ,
καὶ ἐξέβαλεν πάντας τοὺς πωλοῦντας καὶ ἀγορά-
ζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολ-
λυβιστῶν κατέστρεψεν καὶ τὰς καθέδρας τῶν
Is 56,7. Jr 7,11. 13 πωλούντων τὰς περιστεράς, καὶ λέγει αὐτοῖς·
γέγραπται· **ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσε-**
14 **ται,** ὑμεῖς δὲ αὐτὸν ποιεῖτε **σπήλαιον λῃστῶν.** Καὶ
προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ,
Ps 118,25. 15 καὶ ἐθεράπευσεν αὐτούς. ἰδόντες δὲ οἱ ἀρχιερεῖς
καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησεν καὶ
τοὺς παῖδας τοὺς κράζοντας ἐν τῷ ἱερῷ καὶ λέ-
Ps 8,3. 16 γοντας· **ὡσαννὰ** τῷ υἱῷ Δαυείδ, ἠγανάκτησαν, ˡ καὶ
εἶπαν αὐτῷ· ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ
Ἰησοῦς λέγει αὐτοῖς· ναί· οὐδέποτε ἀνέγνωτε ὅτι
**ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω**
17 **αἶνον;** Καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς
πόλεως εἰς Βηθανίαν, καὶ ηὐλίσθη ἐκεῖ.
18 Πρωῒ δὲ ἐπαναγαγὼν εἰς τὴν πόλιν ἐπείνασεν.
L 13,6. 19 καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ᾽
αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα
μόνον, καὶ λέγει αὐτῇ· οὐ μηκέτι ἐκ σοῦ καρπὸς
γένηται εἰς τὸν αἰῶνα. καὶ ἐξηράνθη παραχρῆμα

---

*9* T ὡσαννα *bis, it 15* *12* του θεου : ⊣ h$^{r}$ ⊢ [R] —H
*17* fin : h$^{r}$ + et docebat eos de regno Dei *18* h επαναγων

---

*9* — αυτον *11* οχλοι : πολλοι *13* εποιησατε
*16* ακουεις : pr ουκ *18* παραγων

ἡ συκῆ. καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν 20
λέγοντες· πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ;
ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω 21 17,20.
ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ
μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει
τούτῳ εἴπητε· ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν,
γενήσεται· καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσ- 22
ευχῇ πιστεύοντες λήμψεσθε.

Καὶ ἐλθόντος αὐτοῦ εἰς τὸ ἱερὸν προσῆλθον 23 **23–27**: Mc 11,27–33.
αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι L 20,1–8.
τοῦ λαοῦ λέγοντες· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; J 2,18.
καὶ τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην; ἀπο- 24
κριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἐρωτήσω ὑμᾶς
κἀγὼ λόγον ἕνα, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν
ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ· τὸ βάπτισμα 25
τὸ Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώ-
πων; οἱ δὲ διελογίζοντο παρ᾽ ἑαυτοῖς λέγοντες·
ἐὰν εἴπωμεν· ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν· διὰ τί οὖν
οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ εἴπωμεν· ἐξ ἀν- 26 14,5.
θρώπων, φοβούμεθα τὸν ὄχλον· πάντες γὰρ ὡς
προφήτην ἔχουσιν τὸν Ἰωάννην. καὶ ἀποκριθέντες 27
τῷ Ἰησοῦ εἶπαν· οὐκ οἴδαμεν. ἔφη αὐτοῖς καὶ
αὐτός· οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα
ποιῶ. Τί δὲ ὑμῖν δοκεῖ; ἄνθρωπος εἶχεν τέκνα 28
δύο· προσελθὼν τῷ πρώτῳ εἶπεν· τέκνον, ὕπαγε
σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνι. ὁ δὲ ἀπο- 29
κριθεὶς εἶπεν· οὐ θέλω, ὕστερον μεταμεληθεὶς
ἀπῆλθεν. προσελθὼν δὲ τῷ δευτέρῳ εἶπεν ὡσαύτως. 30 7,21.

---

*23* H *προσηλθαν* *24* H [*δε*] *25* *παρ* : 𝔎 *εν* *27* R *ειπον* *28* h *δυο τεκνα* | *προσελθ.* : hR pr *και* | h *αμπ. μου* *29—31* *ου θελω, . . . απηλθεν . . . εγω, . . . ουκ απηλθεν . . . ο πρωτος* (sic et $h^s$ 2° loco, $h^s$ 1° *ο υστερος vl εσχατος*) : H *εγω, . . . ουκ απηλθεν . . . Ου θελω, . . . απηλθεν . . . ο υστερος* ($h^s$ mendose *πρωτος* : [*λεγουσιν· ο υστερος* fortasse interpolatio primitiva]) *30* *δευτερω* : T *ετερω*

---

*26* *ειχον* *28* *ανθρ.* : + *τις*, *it 33*

ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἐγὼ κύριε, καὶ οὐκ ἀπῆλθεν.
L 18,14. 31 τίς ἐκ τῶν δύο ἐποίησεν τὸ θέλημα τοῦ πατρός;
λέγουσιν· ὁ πρῶτος. λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν
λέγω ὑμῖν ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προ-
L 7,29. 32 άγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ θεοῦ. ἦλθεν
γὰρ Ἰωάννης πρὸς ὑμᾶς ἐν ὁδῷ δικαιοσύνης, καὶ
οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ
πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐδὲ
33–46: Mc 12,1–12. 33 μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ. Ἄλλην
L 20,9–19. παραβολὴν ἀκούσατε. Ἄνθρωπος ἦν οἰκοδεσπότης
25,14. Is 5,1.2. ὅστις **ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περι-
ἔθηκεν καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησεν
πύργον**, καὶ ἐξέδετο αὐτὸν γεωργοῖς, καὶ ἀπεδή-
34 μησεν. ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν,
ἀπέστειλεν τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς
35 λαβεῖν τοὺς καρποὺς αὐτοῦ. καὶ λαβόντες οἱ
γεωργοὶ τοὺς δούλους αὐτοῦ ὃν μὲν ἔδειραν, ὃν
36 δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. πάλιν ἀπέ-
στειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων,
37 καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. ὕστερον δὲ ἀπέ-
στειλεν πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· ἐντρα-
27,18. 38 πήσονται τὸν υἱόν μου. οἱ δὲ γεωργοὶ ἰδόντες
τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρο-
νόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ σχῶμεν τὴν
39 κληρονομίαν αὐτοῦ· καὶ λαβόντες αὐτὸν ἐξέβαλον
40 ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. ὅταν οὖν
ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς
41 γεωργοῖς ἐκείνοις; λέγουσιν αὐτῷ· κακοὺς κακῶς
ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται
ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς
Ps 118,22.23. Act 4,11. 42 καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. λέγει αὐτοῖς ὁ
R 9,33. 1 P 2,6–8. Ἰησοῦς· οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς·

---

*32 ουδε : T ου*

*32 — ουδε 38 κατασχωμεν*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`